δες ἐσμὲν σχισματικοὶ παρὰ τῆς ἁγ: καὶ καθόλου ἐκκλησίας. αὕτη συνεξεδόθη τοῖς τοῦ νείλου, Παλαμᾶ, γεωργίου τοῦ σχολαρίου, βαρλαὰμ, Μελετίου τοῦ πηγᾶ, Μαξίμου τοῦ Μαργουνίου καὶ Γεωργίου τοῦ Κορεσίου κατὰ λατίνων πονηματίοις ἑλληνιστὶ ἐν λονδίνῃ 1624 εἰς δ'. παρὰ νικοδήμου τοῦ μεταξᾶ.

ς' Αἱ παρὰ τῷ Κρουσίῳ ἐπιστολαὶ αὐτοῦ· καὶ ἴδε αὐτὰς καὶ γράψον. ἀνάγνωθι περὶ τούτου τὸ ἰταλικὸν ἱστορικὸν λεξικὸν Dizionario storico de gli Autori Ecclesiastici· ἐκδεδομένον ἐνετίησι τῷ ἔτει 1768· τόμ. 6'. σελ: 216· τὸν ἰφαβρίκιον τόμ: 10· σελ: 512. τὸν μελέτιον ἀθηνῶν ἐκκλ: ἱστ: τόμ: γ'. σελ: 409, τὸν χαϊνέκκιον ἐν τῷ περὶ τῆς ἑλληνικῆς ἐκκλ: τόμ: γ'. σελ: 78 ἐν ταῖς προσθήκαις· τὸν Ἰέχερ ἐν τῷ τῶν πεπαιδευμένων λεξικῷ, καὶ ἄλλους τὸν Hübner ἐκκλ: ἱστορ: τ: 5 σλ: 9 τὸ οὐγγαρικὸν λαδβοκὰτ τ: γ'. σλ:...

1660. Γερασιμος ὁ βλάχος Μητροπολιτης φιλαδελφίας, ἐκατάγετο ἐκ τῆς νήσου Κρήτης, τῷ ἔτει 1652 ἐκεῖθεν ἦλθεν εἰς ἐνετίαν καὶ ἐγένετο ἀκροατὴς τῶν ἐν Ἰταλίᾳ σοφῶν, εἰδήμων τῆς τε ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς γλώσσης, ἀνὴρ πολυμαθὴς καὶ ἐλλόγιμος, ἐχρημάτισε καθηγούμενος τοῦ ἁγ: γεωργίου τοῦ σκαλωτοῦ Ἱεροκήρυξ, καὶ διδάσκαλος τῶν ἐπιστημῶν. καὶ τέλος τοῦ ἐνετίῃσι μητροπολίτου φιλαδελφείας Μεθοδίου Μομινίου Κυδωνιαίως τοῦ ἐκ Κρήτης· τοῦ πρώην Κωνσταντιν: χρηματ: καὶ παραίτησιν ποιησαμένου τὸν βίον ἐκμετρήσαντος τῷ ἔτει 1681 προεχειρίσθη ὁ Γεράσιμος διάδοχος ἐκείνου ὅστις ἐποίμενε τὸ ἐμπιστευθὲν αὐτοῦ εὐσεβῶς καὶ θεαρέστως μέχρι τοῦ 1684 ὅτε καὶ τὸν βίον μετήλλαξε μηνὶ μαρτίῳ ὑπέργηρως. δέκατον ἔννατον ἐπαριθμεῖ τοῦτον ὁ Ἱεροσολήμων δοσίθεος ἐν τῷ περὶ τῶν παρ' ἕλλησι σοφῶν τῶν ἑλλήνων τοῦ δεκάτου ἕκτου αἰῶνος. πολλὰ φιλοσοφικὰ καὶ θεολογικὰ συγγράμματα ἐγκατέλιπεν ἡμῖν οὗτος ὁ ἱερὸς ἀνὴρ ἑλληνιστὶ καὶ λατινιστὶ γεγραμμένα. πλὴν οὐ πάντα ἐξῆλθον εἰς φῶς. καὶ